θησαν καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. διὰ τοῦτο πεσοῦνται
ἐν τῇ πτώσει αὐτῶν καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται,
εἶπεν κύριος. [16]τάδε λέγει κύριος Στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε, 16
καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους καὶ ἴδετε, ποία ἐστὶν ἡ
ὁδὸς ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς
ψυχαῖς ὑμῶν· καὶ εἶπαν Οὐ πορευσόμεθα. [17]κατέστακα ἐφ᾽ ὑμᾶς 17
σκοπούς, ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος· καὶ εἶπαν Οὐκ ἀκου-
σόμεθα. [18]διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη καὶ οἱ ποιμαίνοντες τὰ ποί- 18
μνια αὐτῶν. [19]ἄκουε, γῆ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον 19
κακά, τὸν καρπὸν ἀποστροφῆς αὐτῶν· ὅτι τῶν λόγων μου οὐ
προσέσχον καὶ τὸν νόμον μου ἀπώσαντο. [20]ἵνα τί μοι λίβανον ἐκ 20
Σαβα φέρετε καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα
ὑμῶν οὔκ εἰσιν δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι. [21]διὰ 21
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον
ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες καὶ υἱοὶ ἅμα, γείτων
καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται. [22]τάδε λέγει κύριος Ἰδοὺ λαὸς 22
ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔθνη ἐξεγερθήσεται ἀπ᾽ ἐσχάτου τῆς γῆς·
[23]τόξον καὶ ζιβύνην κρατήσουσιν, ἰταμός ἐστιν καὶ οὐκ ἐλεήσει, 23
φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα, ἐφ᾽ ἵπποις καὶ ἅρμασιν
παρατάξεται ὡς πῦρ εἰς πόλεμον πρὸς σέ, θύγατερ Σιων. [24]ἠκού- 24
σαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύθησαν αἱ χεῖρες ἡμῶν, θλῖψις κατ-
έσχεν ἡμᾶς, ὠδῖνες ὡς τικτούσης. [25]μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ 25
ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυ-
κλόθεν. [26]θύγατερ λαοῦ μου, περίζωσαι σάκκον, κατάπασαι ἐν σποδῷ, 26
πένθος ἀγαπητοῦ ποίησαι σεαυτῇ, κοπετὸν οἰκτρόν, ὅτι ἐξαίφνης
ἥξει ταλαιπωρία ἐφ᾽ ὑμᾶς. [27]δοκιμαστὴν δέδωκά σε ἐν λαοῖς δε- 27
δοκιμασμένοις, καὶ γνώσῃ με ἐν τῷ δοκιμάσαι με τὴν ὁδὸν αὐτῶν·
[28]πάντες ἀνήκοοι, πορευόμενοι σκολιῶς, χαλκὸς καὶ σίδηρος, πάντες 28
διεφθαρμένοι εἰσίν. [29]ἐξέλιπεν φυσητὴρ ἀπὸ πυρός, ἐξέλιπεν μόλι- 29
βος· εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρία αὐτῶν οὐκ ἐτάκη.
[30]ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτούς, ὅτι ἀπεδοκίμασεν 30
αὐτοὺς κύριος.

15 εγνωσαν] pr. επ S† | αυτων ult. > BS† || 16 κυρ. αιων.] tr. S† | βαδισατε A | αγιασμον A || 17 κατεστακα BS*A pau.: item BSA pau. in 1 10: τ ad similitudinem aoristi κατεστησα? pro τ rel. praeb. θ; cf. Thack. p. 128. 253 || 19 ιδου] ιοδα S*†, ιουδα ASc† | κακα] κατα S | των λογων B† (cf. Helbing Kasussyntax p. 293)] τω -γω S, τοις -γοις A || 21 εν αυτη > BS*† || 22 εθνη] εθνος μεγα ASc | εξεγερθησεται A et alter corrector codicis S†] εξ > B†, -θηται S*†, -θησονται alter corrector codicis S || 25 ρομφ.] pr. η S† || 26 θυγατερες ... περιζωσασθε S*†, θυγατηρ ... περιζωσεται Sc† | καταπασαι] pr. και A = 𝔐 | εν σποδω B† (= 𝔐)] σποδω S†, σποδον rel. | πενθος] pr. ως Sc*L* || 28 χαλκος] pr. ως Sc*L* | παντες ult.] pr. και A† || 29 πυρος] της της A†